eul_wid: uyq-aa

Ῥωμανὸς ὁ Μελῳδός · Romanos the Melodist

# Akathist Hymn

*Ἀκάθιστος ὕμνος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ Χριστιανική* Christian Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει
[para]ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη
[para]ὁ ἀσώματος λέγων τῇ ἀπειρογάμῳ·
“‘Ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανοὺς
χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί·
ὃν καὶ βλέπων ἐν μήτρᾳ σου λαβόντα δούλου μορφὴν
[para]ἐξίσταμαι κραυγάζων σοι·
|:‘Χαῖρε, νύμφη ἀνύμφευτε.‘”:|
[Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια
[para]ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια
ἀναγράφω σοι ἡ πόλις σου, θεοτόκε·
ἀλλ’ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
[para]ἵνα κράζω σοι·
|:“Χαῖρε, νύμφη ἀνύμφευτε”.:|]
[Οὐ παυόμεθα κατὰ χρέος ἀνυμνοῦντες σε,
[para]θεοτόκε, καὶ λέγοντες·
|:“Χαῖρε, ἡ κεχαριτωμένη”.:|]
Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη
[para]εἰπεῖν τῇ θεοτόκῳ τὸ “χαῖρε”·
καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ
[para]σωματούμενόν σε θεωρῶν, κύριε,
ἐξίστατο καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·
“Χαῖρε, δι’ ἧς ἡ χαρὰ ἐκλάμψει·
[para]χαῖρε, δι’ ἧς ἡ ἀρὰ ἐκλείψει·

χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις·
[para]χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις·
χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς·
[para]χαῖρε, βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς·
χαῖρε, ὅτι ὑπάρχεις βασιλέως καθέδρα·
[para]χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα·
χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον·
χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως·
χαῖρε, δι’ ἧς νεουργεῖται ἡ κτίσις·
[para]χαῖρε, δι’ ἧς προσκυνεῖται ὁ πλάστης·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε”.:|
Βλέπουσα ἡ ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ
[para]φησὶ τῷ Γαβριὴλ θαρσαλέως·
[para]“Τὸ παράδοξόν σου τῆς φωνῆς
[para]δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται·
ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν προλέγεις κράζων·
|:“’Αλληλούϊα”.”:|
Γνῶσιν ἄγνωστον γνῶναι ἡ παρθένος ζητοῦσα
[para]ἐβόησε πρὸς τὸν λειτουργοῦντα·
“’Εκ λαγόνων ἁγνῶν ὑϊὸν
[para]πῶς ἐστὶ τεχθῆναι δυνατόν; λέξον μοι.”
πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ πρὶν κραυγάζων οὕτω·
“Χαῖρε, βουλῆς ἀπορρήτου μύστις,
[para]χαῖρε, σιγῇ δεομένων πίστις·
χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον,
[para]χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον·
χαῖρε, κλῖμαξ ἐπουράνιε, δι’ ἧς κατέβη [ὁ] θεός·
[para]χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν·
χαῖρε, τὸ τῶν ἀγγέλων πολυθρύλητον θαῦμα·
[para]χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα·
χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα·
χαῖρε, τὸ “πῶς” μηδένα διδάξασα·
χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν·
[para]χαῖρε, πιστῶν καταυγάζουσα φρένας·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Δύναμις τοῦ ὑψίστου ἐπεσκίασε τότε
[para]πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ·
[para]καὶ τὴν εὔκαρπον ταύτης νηδὺν

[para]ὡς ἀγρὸν ἀπέδειξεν ἡδὺν ἅπασι
τοῖς θέλουσι θερίζειν σωτηρίαν ἐν τῷ ψάλλειν οὕτως·
|:“Ἀλληλούϊα.”:|
Ἔχουσα θεοδόχον ἡ παρθένος τὴν μήτραν
[para]ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ·
τὸ δὲ βρέφος ἐκείνης εὐθὺς
[para]ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν ἔχαιρε
καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν θεοτόκον·
“Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα·
χαῖρε, καρποῦ ἀθανάτου κτῆμα·
χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον·
[para]χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα·
χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν·
[para]χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν·
χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις·
[para]χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις·
χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα·
χαῖρε, θεοῦ πρὸς θνητοὺς εὐδοκία·
[para]χαῖρε, θνητῶν πρὸς θεὸν παρρησία·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων
[para]ὁ σώφρων Ἰωσὴφ ἐταράχθη
[para]πρὸς τὴν ἄγαμόν σε θεωρῶν
[para]καὶ κλεψίγαμον ὑπονοῶν, ἄμεμπτε·
μαθὼν δὲ σοῦ τὴν σύλληψιν ἐκ πνεύματος ἁγίου ἔφη·
|:“Ἀλληλούϊα.”:|
Ἤκουσαν οἱ ποιμένες τῶν ἀγγέλων ὑμνούντων
[para]τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·
καὶ δραμόντες ὡς πρὸς ποιμένα
[para]θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον
ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον·
“Χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ·
[para]χαῖρε, αὐλὴ λογικῶν προβάτων·
χαῖρε, ἀοράτων θηρῶν ἀμυντήριον·
[para]χαῖρε, παραδείσου θυρῶν ἀνοικτήριον·
χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλονται τῇ γῇ·
[para]χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύουσι πιστοῖς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαῖρε, τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα·
[para]χαῖρε, τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος·
χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα·
χαῖρε, δι’ ἧς ἐγυμνώθη ὁ ῞Αιδης·
[para]χαῖρε, δι’ ἧς ἐνεδύθημεν δόξαν·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Θεοδρόμον ἀστέρα θεωρήσαντες μάγοι
[para]τῇ τούτου ἠκολούθησαν αἴγλῃ·
[para]καὶ ὡς λύχνον κρατοῦντες αὐτόν,
[para]δι’ αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα·
καὶ φθάσαντες τὸν ἄφθαστον ἐχάρησαν αὐτῷ βοῶντες·
|:“Ἀλληλούϊα.”:|
Ἴδον παῖδες Χαλδαίων ἐν χερσὶ τῆς παρθένου
[para]τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·
καὶ δεσπότην νοοῦντες αὐτόν,
[para]εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν
τοῖς δώροις θεραπεῦσαι καὶ βοῆσαι τῇ εὐλογημένῃ·
“Χαῖρε, ἀστέρος ἀδύτου μήτηρ·
[para]χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας·
χαῖρε, τῆς ἀπάτης τὴν κάμινον παύσασα·
[para]χαῖρε, τῆς τριάδος τοὺς μύστας φυλάττουσα·
χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς·
[para]χαῖρε, κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν·
χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας·
[para]χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων·
χαῖρε, πυρὸς προσκύνησιν σβέσασα·
χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα·
χαῖρε, Περσῶν ὁδηγὲ σωφροσύνης·
[para]χαῖρε, πασῶν γενεῶν εὐφροσύνη·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Κήρυκες θεοφόροι γεγονότες οἱ μάγοι
ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα,
ἐκτελέσαντες σοῦ τὸν χρησμὸν
καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν,
ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη μὴ εἰδότα ψάλλειν·
|:“Ἀλληλούϊα.”:|
Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]ἐδίωξας τοῦ ψεύδους τὸ σκότος·
τὰ γὰρ εἴδωλα ταύτης, σωτήρ,
[para]μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκαν·
οἱ τούτων δὲ ῥυσθέντες ἀνεβόων πρὸς τὴν θεοτόκον·
“Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων·
[para]χαῖρε, κατάπτωσις τῶν δαιμόνων·
χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα·
[para]χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα·
χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν·
[para]χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν·
χαῖρε, πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει·
[para]χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης·
χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε·
χαῖρε, τρυφῆς ἁγίας διάκονε·
χαῖρε, ἡ γῆ ἡ τῆς ἐπαγγελίας·
[para]χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα·
|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος
[para]μεθίστασθαι τοῦ ἀπατεῶνος,
[para]ἐπεδόθης ὡς βρέφος αὐτῷ,
[para]ἀλλ’ ἐγνώσθης τούτῳ καὶ θεὸς τέλειος·
διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων·
|:“Ἀλληλούϊα.”:|
Νέαν ἔδειξε κτίσιν ἐμφανίσας ὁ κτίστης
[para]ἡμῖν τοῖς ὑπ’ αὐτοῦ γενομένοις,
ἐξ ἀσπόρου βλαστήσας γαστρὸς
[para]καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον,
ἱνὰ τὸ θαῦμα βλέποντες ὑμνήσωμεν αὐτὴν βοῶντες·
“Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας·
[para]χαῖρε, τὸ στέμμα τῆς ἐγκρατείας·
χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα·
[para]χαῖρε, τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα·
χαῖρε, δένδρον ἀγλαόκαρπον ἐξ οὗ τρέφονται πιστοί·
[para]χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ’ οὗ σκέπονται πολλοί·
χαῖρε, κυοφοροῦσα λυτρωτὴν αἰχμαλώτοις·
[para]χαῖρε, ἀπογεννῶσα ὁδηγὸν πλανωμένοις·
χαῖρε, κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, πολλῶν πταισμάτων συγχώρησις·

χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας·
[para]χαῖρε, στοργὴ πάντα πόθον νικῶσα·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Ξένον τόκον ἰδόντες ξενωθῶμεν τοῦ κόσμου,
[para]τὸν νοῦν εἰς οὐρανοὺς μεταθέντες·
[para]διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς
[para]ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος,
βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας·
|:“Ἀλληλούϊα.”:|
Ὅλος ἦν ἐν τοῖς κάτω καὶ τῶν ἄνω οὐδ’ ὅλως
[para]ἀπῆν ὁ ἀπερίγραπτος Λόγος·
συγκατάβασις γὰρ θεϊκή,
[para]οὐ μετάβασις δὲ τοπικὴ γέγονε
καὶ τόκος ἐκ παρθένου θεολήπτου ἀκουούσης ταῦτα·
“Χαῖρε, θεοῦ ἀχωρήτου χώρα·
[para]χαῖρε, σεπτοῦ μυστηρίου θύρα·
χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα·
[para]χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα·
χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ·
[para]χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ·
χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα·
[para]χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα·
χαῖρε, δι’ ἧς ἐλύθη παράβασις·
χαῖρε, δι’ ἧς ἠνοίχθη παράδεισος·
χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας·
[para]χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Πᾶσα φύσις ἀγγέλων κατεπλάγη τὸ μέγα
[para]τῆς σῆς ἐνανθρωπήσεως ἔργον·
[para]τὸν ἀπρόσιτον γὰρ ὡς θεὸν
[para]ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον,
ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων·
|:“Ἀλληλούϊα.”:|
Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους
[para]ὁρῶμεν ἐπὶ σοί, θεοτόκε·
ἀποροῦσι γὰρ λέγειν τὸ πῶς
[para]καὶ παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας·
ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες πιστῶς βοῶμεν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“Χαῖρε, σοφίας θεοῦ δοχεῖον·
[para]χαῖρε, προνοίας αὐτοῦ ταμεῖον·
χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα·
[para]χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα·
χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί·
[para]χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί·
χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα·
[para]χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα·
χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα·
χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα·
χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι·
[para]χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ
[para]πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε·
[para]καὶ ποιμὴν ὑπάρχων ὡς θεὸς
[para]δι’ ἡμᾶς ἐφάνη καθ’ ἡμᾶς ὅμοιος·
ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας ὡς θεὸς ἀκούει·
|:“Ἀλληλούϊα.”:|
Τεῖχος εἶ τῶν παρθένων, θεοτόκε παρθένε,
[para]καὶ πάντων τῶν εἰς σὲ προσφευγόντων·
ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς
[para]κατεσκεύασέ σε ποιητής, ἄχραντε,
οἰκήσας ἐν τῇ μήτρᾳ σου καὶ δείξας προσφωνεῖν σοι πάντας·
“Χαῖρε, ἡ στήλη τῆς παρθενίας·
[para]χαῖρε, ἡ πύλη τῆς σωτηρίας·
χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως·
[para]χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος·
χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς·
[para]χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν·
χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα·
[para]χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα·
χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως·
χαῖρε, πιστοὺς κυρίῳ ἁρμόζουσα·
χαῖρε, καλὴ κουροτρόφε παρθένων·
[para]χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Ὕμνος ἅπας ἡττᾶται συνεκτείνεσθαι σπεύδων

[para]τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου·
[para]ἰσαρίθμους ψαλμοὺς καὶ ᾠδὰς
[para]ἂν προσφέρωμέν σοι, βασιλεῦ ἅγιε,
οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας τοῖς σοὶ βοῶσιν·
|:“Ἀλληλούϊα.”:|
Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν
[para]ὁρῶμεν τὴν ἁγίαν παρθένον·
τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς
[para]ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας,
αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα·
“Χαῖρε, ἀκτὶς νοητοῦ ἡλίου·
[para]χαῖρε, λαμπτὴρ τοῦ ἀδύτου φέγγους·
χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα·
[para]χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα·
χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν·
[para]χαῖρε, ὅτι τὸν πολύρρητον ἀναβλύζεις ποταμόν·
χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον·
[para]χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον·
χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν·
χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν·
χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας·
[para]χαῖρε, ζωὴ μυστικῆς εὐωχίας·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Χάριν δοῦναι θελήσας ὀφλημάτων ἀρχαίων
[para]ὁ πάντων χρεωλύτης ἀνθρώπων,
[para]ἐπεδήμησε δι’ ἑαυτοῦ
πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος·
καὶ σχίσας τὸ χειρόγραφον ἀκούει παρὰ πάντων οὕτως·
|:“Ἀλληλούϊα.”:|
Ψάλλοντές σου τὸν τόκον εὐφημοῦμεν σε πάντες
[para]ὡς ἔμψυχον ναόν, θεοτόκε·
ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ
[para]ὁ κατέχων πάντα τῇ χειρὶ κύριος
ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας·
“Χαῖρε, σκηνὴ τοῦ θεοῦ καὶ Λόγου·
[para]χαῖρε, ἁγία ἁγίων μείζων·
χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι·
[para]χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαῖρε, τίμιον διάδημα βασιλέων εὐσεβῶν·
[para]χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν·
χαῖρε, τῆς ἐκκλησίας ὁ ἀσάλευτος πύργος·
[para]χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος·
χαῖρε, δι’ ἧς ἐγείρονται τρόπαια·
χαῖρε, δι’ ἧς ἐχθροὶ καταπίπτουσι·
χαῖρε, φωτὸς τοῦ ἐμοῦ θεραπεία·
[para]χαῖρε ψυχῆς τῆς ἐμῆς προστασία·
[para]|:χαῖρε, νύμφη ἀνύμφευτε.”:|
Ὦ πανύμνητε μήτηρ, ἡ τεκοῦσα τὸν πάντων
[para]ἁγίων ἁγιώτατον Λόγον,
[para]δεξαμένη τὴν νῦν προσφοράν,
[para]ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας
καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας·
|:“Ἀλληλούϊα.”:|

Eulogikon public reading copy · View original HTML at eulogikon.org